**SS 2025 Λυσιστράτη, Agon 598-613 (9. Sitzung) (Karanasiou)**
https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf

**Πρόβουλος**
ἀλλ᾽ ὅστις ἔτι στῦσαι δυνατὸς--

**Λυσιστράτη**
σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνῄσκεις;

χωρίον ἐστί· σορὸν ὠνήσει·

μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.

λαβὲ ταυτὶ καὶ στεφάνωσαι.

**Γυνὴ Ξ.**
καὶ ταυτασὶ δέξαι παρ᾽ ἐμοῦ.

**Γυνὴ Α.**
καὶ τουτονγὶ λαβὲ τὸν στέφανον.

**Λυσιστράτη**

τοῦ δεῖ; τί ποθεῖς; χώρει ᾽ς τὴν ναῦν·

ὁ Χάρων σε καλεῖ,

σὺ δὲ κωλύεις ἀνάγεσθαι.

**Πρόβουλος**

εἶτ᾽ οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ᾽ ἐμέ;

νὴ τὸν Δί᾽ ἀλλὰ τοῖς προβούλοις ἄντικρυς

ἐμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.

**Λυσιστράτη**

μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προὐθέμεσθά σε;

ἀλλ᾽ ἐς τρίτην γοῦν ἡμέραν σοὶ πρῴ πάνυ

ἥξει παρ᾽ ἡμῶν τὰ τρίτ᾽ ἐπεσκευασμένα.